ἕλκει τῇδ' ὁ βίαιος Ἔρως· φλόγα δ' οἷα προφαίνων
παιδὸς ἀπαστράπτει κάλλος ἐραστὸν ἰδεῖν.
βαίνω δ' ἴχνος ἐπ' ἴχνος, ἐν ἀέρι δ' ἡδὺ τυπωθὲν
εἶδος ἀφαρπάζων χείλεσιν ἡδὺ φιλῶ.
ἆρά γε τὴν πικρὰν προφυγὼν ἅλα πουλύ τι κείνης
πικρότερον χέρσῳ κῦμα περῶ Κύπριδος;

## CXV

οἰνοπόται, δέξασθε τὸν ἐκ πελάγευς ἅμα πόντον
καὶ κλῶπας προφυγόντ', ἐν χθονὶ δ' ὀλλύμενον.
ἄρτι γὰρ ἐκ νηός με μόνον πόδα θέντ' ἐπὶ γαῖαν
ἀγρεύσας ἕλκει τῇδ' ὁ βίαιος Ἔρως,
ἐνθάδ' ὅπου τὸν παῖδα διαστείχοντ' ἐνόησα,
αὐτομάτοις δ' ἄκων ποσσὶ ταχὺς φέρομαι.
κωμάζω δ' οὐκ οἶνον ὑπὸ φρένα, πῦρ δὲ γεμισθείς·
ἀλλὰ φίλῳ, ξεῖνοι, βαιὸν ἐπαρκέσατε,
ἀρκέσατ', ὦ ξεῖνοι, κἀμὲ ξενίου πρὸς Ἔρωτος
δέξασθ' ὀλλύμενον τὸν φιλίας ἱκέτην.

## CXVI

ὦ προδόται ψυχῆς, παίδων κύνες, αἰὲν ⟨ἐν⟩ ἰξῷ
Κύπριδος ὀφθαλμοὶ βλέμματα χριόμενοι,
ἡρπάσατ' ἄλλον ἔρωτ', ἄρνες λύκον, οἷα κορώνη
σκορπίον, ὡς τέφρη πῦρ ὑποθαλπόμενον.
δρᾶθ' ὅ τι καὶ βούλεσθε· τί μοι νενοτισμένα χεῖτε
δάκρυα, †πρὸς δ' ἱκέτην† αὐτομολεῖτε τάχος;
ὀπτᾶσθ' ἐν κάλλει, τύφεσθ' ὑποκαόμενοι νῦν,
ἄκρος ἐπεὶ ψυχῆς ἐστι μάγειρος Ἔρως.